www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα καὶ Ἰαματικὸν Παντελεήμονα

Ἦχος πλ.δ'

Ἅγιον Ὅρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro



# Κανὼν εἰς τὸν Ἅγιον Μεγαλομάρτυρα καὶ Ἰαματικὸν Παντελεήμονα οὗ ἡ ἀκροστιχίς «Παντελεήμονι δέομαι ἀθλητῇ», ἐν δὲ τοῖς Θεοτοκίοις, «Ἱλαρίων Μ.», Ἦχος πλ.δ'.

*Ὠιδὴ Α' Ὑγρὰν διοδεύσας.*

Παυσίλυπον μάρτυς τῶν ὀδυνῶν, φάρμακον ὡς ἔχων, τὴν ψυχήν μου παντοδαπαῖς, νῦν ἐν θλιβεροῖς περιπεσοῦσαν, Παντελεῆμον ὀξέως θεράπευσον.

Ἀνάγκαις τοῦ βίου περιπεσών, ἀθλητὰ παντοίαις, ἐλευθέρωσον τὸν Χριστόν, τὸν πάντων Δεσπότην καὶ Σωτῆρα, Παντελεῆμον σοφὲ ἐκμιμούμενος.

Νοσῶν ἀθλοφόρε κατὰ ψυχήν, ἅμα καὶ τὸ σῶμα, καταφεύγω τῷ ἰατρῷ, τῷ ἑτοιμοτάτῳ σοι τῷ θείῳ, θεραπευθῆναι ὁ τάλας δεόμενος.

*Θεοτοκίον.*

Ἰάσω Παρθένε τὸ τῶν βροτῶν, γένος τῷ σῷ τόκῳ, κἀμὲ Δέσποινα ἀγαθή, τοῦ τέλους ἡ νὺξ πρὶν καταλάβῃ, τῇ χάριτί σου τὸν ἄθλιον ἴασαι.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

### Ὠιδὴ Γ΄ Σὺ εἶ τὸ στερέωμα.

Τρικυμίαις πάντοτε, τὸ τῆς ψυχῆς μου βαλόμενον, τῶν πειρασμῶν, σκάφος εἰρηναίῳ, ἐν λιμένι καθόρμισον.

Ἐν ἡμέρᾳ σκέπασον, καὶ ἐν νυκτὶ περιφρούρησον, δοῦλον τὸν σόν, τῶν ἐχθρῶν ἀπείργων, τὰς ἐφόδους πανεύφημε.

Λογισμῶν σκοτόμαιναν, Παντελεῆμον διάλυσον, τῶν πονηρῶν τῇ σῇ φωταυγείᾳ, Χριστομάρτυς τρισόλβιε.

### Θεοτοκίον.

Λυτρωτὴν ἡ τέξασα, βροτῶν τῷ γένει Πανάχραντε, λῦσον κἀμοῦ, τῶν ἁμαρτημάτων, τὰς σειρὰς τῷ ἐλέει σου.

### Ὠιδὴ Δ΄ Εἰσακήκοα Κύριε.

Εἰσερχόμενον ἅγιε, ἔνδον τοῦ ναοῦ σου καὶ σοῦ δεόμενον, τὸν ἀνίατα νοσοῦντά με, δὸς Παντελεῆμόν μοι τὴν ἴασιν.

Ἡ πολλὴ εὐσπλαγχνία σου, μάρτυς ἐπηρείας ἀπαλλαξάτω με, τῶν δαιμόνων τῶν ἀείποτε, κατατυραννούντων με τὸν ἄθλιον.

Μετανοίας ὁ δείλαιος, τῆς ὁδοῦ μὴ σθένων μάρτυς ἐφάψασθαι, σύ με ταύτῃ καθοδήγησον, ταῖς πανευπροσδέκτοις ἱκεσίαις σου.

Θεοτοκίον.

Ἀπορούμενον Δέσποινα, καὶ τῇ ἀπογνώσει με ὀλισθαίνοντα, ἐκ παντοίων περιστάσεων, Κόρη τῇ δυνάμει σου ἀπάλλαξον.

Ὠιδὴ Ε' Φώτισον ἡμᾶς.

Ὅπλῳ ὡσπερεί, ἀρραγεῖ τῇ ἱκεσίᾳ σου, Παντελεῆμον μάρτυς κατὰ βελῶν, περιφυλαχθείην, ὁ δύστηνος τοῦ ἀλάστορος.

Νόσῳ με δεινῇ, συσχεθέντα μάρτυς ἔναγχος, σοὶ καταφεύγω πίστει τῷ ἰατρῷ, τῆς θεραπείας ὡς τάχιον ἐπιτεύξασθαι.

Ἴαμα τοῦ σοῦ, ἡ ἐπίκλησις ὀνόματος, Παντελεῆμον ἔνδοξε τοῖς πιστοῖς, ὑπάρχω νόσου, κἀμὲ νῦν δεινῆς ἀπάλλαξον.

Θεοτοκίον.

Ῥύπῳ με πολλῷ, τὴν ψυχὴν καταμολύναντα, τῆς σῆς Παρθένε χάριτος δροσισμῷ, πρὸ τοῦ θανάτου, εὐσπλάγχνως με ἀποκάθαρον.

Ὠιδὴ ΣΤ' Τὴν δέησιν ἐκχεῶ.

Δελέατι ἡδονῆς τὸν ἄθλιον, ὁ ἐχθρός με ἀπατῶν παρασύρει, τῇ τῶν παθῶν ἀθλοφόρε

ἰλύει, Παντελεῆμον ἐξ ἧς μὲ ἀνάγαγε, ὡς τοῦ Σωτῆρος μιμητής, καὶ θεράπων αὐτοῦ γνησιώτατος.

Ἐπίσκεψαι τὸν νοσοῦντα δοῦλόν σου, ἰατρὸς Παντελεῆμον ὡς θεῖος, καὶ ἀλγεινῶν τῶν τοῦ σώματος πόνων, καὶ τῆς ψυχῆς μου τὴν λύσιν παράσχου μοι, ὅπως αἰνέσεως φωνῇ, σοῦ τὴν χάριν ὑμνῶ τὴν σωτήριον.

Οὐκ ἔστί μοι τῷ ἀθλίῳ ἄνεσις, πειρασμοῖς παντοδαποῖς ἐμπεσόντι, οὐδὲ ἐλπὶς τὴν κατάφωρον τούτων, ἀναχαιτίσαι μανίαν καὶ ἄσχετον, σὺ τῶν καμνόντων ὁ ταχὺς βοηθὸς ἀθλοφόρε βοήθει μοι.

*Θεοτοκίον.*

Ἰάτρευσας τῶν βροτῶν ἀνίατα, τὴν οὐσίαν ἀσθενοῦσαν Παρθένε, ὡς τετοκυῖα τὸν ἕνα διπλόη, ἀνερμηνεύτως τῶν φύσεων Ἄχραντε, πολυχρονίως με δεινῶς, ὡς νοσοῦντα, σῇ χάριτι ἴασαι.

*Ὠιδὴ Ζ΄ Παῖδες Ἑβραίων.*

Μάρτυς Χριστοῦ Παντελεῆμον, τοῦ ἱκέτου σου φωνὴν μὴ ὑπερίδῃς, ἀλλὰ σπεῦσον ταχύ, ἐχθρῶν τῶν ἀοράτων, καὶ ὁρωμένων δίωξον, ἀπ’ ἐμοῦ παρενοχλήσεις.

Ἅιδου τὸ πῦρ με ἀναμένει, τὸν πανάθλιον ὡς ἔργα διαπράξας, τοῦ πυρὸς ἀληθῶς, διόπερ

πρὸ τοῦ τέλους, εὐχαῖς σου με ὁδήγησον ἀθλητὰ τῇ μετανοίᾳ.

Ἴδε τὴν κάκωσιν ἣν ἔχω, ἀθλοφόρε τοῦ Χριστοῦ Παντελεῆμον, ἐκ παντοίων παθῶν, καὶ νόσων ἀφορήτων, ἀνάνευσίν μοι χάρισαι, τῷ πιστῶς σου δεομένῳ.

*Θεοτοκίον.*

Ὥρα λοιπόν σοι ὦ ψυχή μου, πρίν σε φθάσῃ χωρισμὸς ὁ τοῦ θανάτου, προσδραμεῖν τῇ Μητρί, τοῦ Πλάστου σου αἰτοῦσα, πληθύος τῶν πταισμάτων σου, τὴν συγχώρησιν ἐμπόνως.

*Ὠιδὴ Η' Τὸν ἐν ὄρει ἁγίῳ.*

Ἀποκάθαρόν με Παντελεῆμον, τὸν ἐν ἔργοις αἰσχροῖς τὸν βίον διελθόντα, ὁ τοῖς οἰκείοις ῥείθροις τῶν αἱμάτων σου, παρὰ τοῦ Δεσπότου, Χριστοῦ τοῦ φιλανθρώπου, πεπλουτικὼς τὴν χάριν.

Θησαυρὸν ὡς ἀκένωτον πλουτοῦσα, τῶν λειψάνων τῶν σῶν πιστῶν ἡ Ἐκκλησία, τῶν ἀσθενούντων ἰατρεῖον ἕτοιμον, μάρτυς καὶ τῷ δούλῳ, τῷ σῷ δεομένῳ σοι, τὴν ἴασιν παράσχου.

Λυπηρῶν τὰς νιφάδας ἀθλοφόρε, τῶν δεινῶς τὴν ἐμήν, ψυχὴν παρενοχλούντων, τῶν πρεσβειῶν σου ταῖς πνοαῖς ἀπέλασον, πόρρω

ἵνα πόθῳ, ἀνυμνολογῶ σε, Παντελεῆμον μάρτυς.

*Θεοτοκίον.*

Νεκρωθέντα με ὅλως Παναγία, ὡς δουλεύων αἰσχροῖς πάθεσιν ὁ παράφρων, ἡ τοῖς ἀνθρώποις τὴν ζωὴν κυήσασα, ἐξανάστησόν με, ὅπως εὐλογῶ σε, εἰς πάντας τοὺς αἰῶνας.

*Ὠιδὴ Θ΄ Κυρίως Θεοτόκον.*

Ἡδύνον ὑπὲρ μέλι, μάρτυς καὶ γλυκάζον, τὸ σὸν λαλούμενον πάντιμον ὄνομα, Παντελεῆμον γὰρ ἔσχες τὴν κλῆσιν ἄνωθεν.

Τῆς σῆς ἐπικουρίας, τῶν μαρτύρων κλέος, ἐπικαλούμενος πίστει ὁ δοῦλος ὁ σός, τῆς παρακλήσεως ἔνδοξε μὴ ἀποτύχοιμι.

Ἡ πάνταρχος Θεότης, ὁ Πατὴρ ὁ Λόγος, καὶ τὸ Πανάγιον Πνεῦμα τρισήλιον φῶς, ἐσκοτισμένον με ὄντα, σὺ φωταγώγησον.

*Θεοτοκίον.*

Μαρία τοῦ Θεοῦ μου, Μήτηρ τῷ ἐν Ἄθῳ, τῷ σῷ οἰκοῦντι ἐπίβλεψον δούλῳ τῷ σῷ, καὶ δωρεὰν μετανοίας ὁδῷ με ἴθυνον.

## Προσόμοια.

### Ὢ τοῦ παραδόξου θαύματος. Ἦχος πλ.δ΄

Μάρτυς τοῦ Χριστοῦ πανεύφημε, Παντελεῆμον σοφέ, πατρικὴν βδελυξάμενος, ἁγιστείαν ἄθεσμον, τῷ Χριστῷ προσελήλυθας, καὶ τούτου χαίρων μάκαρ ἑπόμενος, τοῖς παραγγέλμασιν ἀξιΰμνητε, καὶ τῆς ἀθλήσεως, κατεκόσμησέ σε στέφει ὃν ἀεί, ἐκτενῶς ἱκέτευε, ἐλεηθῆναι ἡμᾶς.

Νόσῳ δεινοτάτῃ ἅγιε, νῦν συσχεθεὶς οὐδαμῶς, ἀλγηδόνας τοῦ σώματος, φέρειν οὐ δυνάμενος πρὸς σὲ μάρτυς κατέφυγον, Παντελεῆμον ἀκέστωρ ἔνδοξε, ἴασαι τάχει με σοῦ δεόμενον, καὶ τῶν πταισμάτων μου, τὸν Χριστὸν ἱκέτευε διηνεκῶς, ἐξαλεῖψαι ἄμετρον, πληθὺν ὡς εὔσπλαγχνος.

Ἄνωθεν ἐξ ὕψους ἔνδοξε, κλῆσιν τὴν σὴν ὡς λαβών, τοῖς πιστοῖς ἀναδέδειξαι, χορηγία ἄμισθος τοῖς αἰτοῦσί σε εὔσπλαγχνε καὶ πλουτοδότης ὄντως ἀκένωτος, τοῖς δεομένοις φιλανθρωπότατος, καὶ ἐν ταῖς θλίψεσι, παρακλήτωρ ἕτοιμος καὶ ἐν δεινοῖς, πρόμαχος ἀήττητος ἀξιοθαύμαστε.

Πάσης ἀκαθάρτου πράξεως, ὁ ἀναιδὴς μὴ λιπών, ἐπιτήδευσιν ἔφθασα, τέλος πρὸς τὸ ἄφευκτον, τῆς φρικτῆς διαζεύξεως, καὶ τὸ δὴ χεῖρον μὴ ἀφιστάμενος, οἴμοι ἐξ ἔργων τῶν ἀθεμίτων μου, Δέσποινα Δέσποινα, ἡ Σωτῆρα

τέξασα καὶ Λυτρωτήν, τοῖς ἀνθρώποις σῶσόν
με, ὥσπερ ἐπίστασαι.


ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ